# Thalés z Milétu

## Θαλῆς

Fragmenta DK 11 B

*ΝΑΥΤΙΚΗ ΑΣΤΡΟΛΟΓΙΑ*

**B 1** /1 = Simplikios, *In Physica* 23,29

Θαλῆς δὲ πρῶτος παραδέδοται τὴν περὶ φύσεως ἱστορίαν τοῖς Ἕλλησιν ἐκφῆναι, πολλῶν μὲν καὶ ἄλλων προγεγονότων, ὡς καὶ τῶι Θεοφράστωι (*Physicorum Opiniones* 1; *Dox*. 475) δοκεῖ, αὐτὸς δὲ πολὺ διενεγκὼν ἐκείνων ὡς ἀποκρῦψαι πάντας τοὺς πρὸ αὐτοῦ. λέγεται δὲ ἐν γραφαῖς μηδὲν καταλιπεῖν πλὴν τῆς καλουμένης Ναυτικῆς ἀστρολογίας.

Cfr. A 1,23; A 2.

**B 1** /2 = Plútarchos, *De Pythiae oraculis* 18; 402e

πρότερον μὲν ἐν ποιήμασιν ἐξέφερον οἱ φιλόσοφοι τὰ δόγματα καὶ τοὺς λόγους ὥσπερ Ὀρφεὺς (c. 1) καὶ Ἡσίοδος (cfr. c. 4) καὶ Παρμενίδης (28 A 15) καὶ Ξενοφάνης (21 A 18) καὶ Ἐμπεδοκλῆς (31 A 25) [καὶ Θαλῆς], ὕστερον δ᾽ ἐπαύσαντο καὶ πέπαυνται χρώμενοι μέτροις πλὴν σοῦ· διὰ σοῦ δ᾽ αὖθις εἰς φιλοσοφίαν ποιητικὴ κάτεισιν ὄρθιον καὶ γενναῖον ἐγκελευομένη τοῖς νέοις. οὐδ᾽ ἀστρολογίαν ἀδοξοτέραν ἐποίησαν οἱ περὶ Ἀρίσταρχον καὶ Τιμόχαριν καὶ Ἀρίστυλλον καὶ Ἵππαρχον καταλογάδην γράφοντες, ἐν μέτροις πρότερον Εὐδόξου καὶ Ἡσιόδου καὶ Θαλοῦ γραφόντων, εἴ γε Θαλῆς ἐποίησεν ὡς ἀληθῶς εἰπεῖν <τὴν> εἰς αὐτὸν ἀναφερομένην Ἀστρολογίαν.

**B 2** = *Scholia in Aratum* 172; 369,24 Hyaden

Θαλῆς μὲν οὖν δύο αὐτὰς εἶπεν εἶναι, τὴν μὲν βόρειον τὴν δὲ νότιον.

*ΠΕΡΙ ΑΡΧΩΝ ΑΒ*

**B 3** = Septem sapientes (pseudo), *Apophtegmata* (apud auctore diverses) V,18 Mulach

Θαλῆς μὲν εἰ καὶ ἐκ τοῦ ὕδατός φησι συνεστάναι πάντα, ἀλλ᾽ ὅμως καὶ τοῦτο βούλεται μεταβάλλειν· ἄμεινον δὲ καὶ αὐτοῦ τὴν ῥῆσιν προσθεῖναι ἐκ τοῦ δευτέρου περὶ τῶν ἀρχῶν ἔχουσαν ὧδέ πως·
Τὰ μὲν οὖν πολυθρύλητα τέτταρα, ὧν τὸ πρῶτον ὕδωρ εἶναί φαμεν καὶ ὡσανεὶ μόνον στοιχεῖον τίθεμεν, πρὸς σύγκρισίν τε καὶ πῆξιν καὶ σύστασιν τῶν ἐγκοσμίων πρὸς ἄλληλα συγκεράννυται. πῶς δέ, ἤδη λέλεκται ἡμῖν ἐν τῶι πρώτωι.

Diels jako pramen zlomku B 3 cituje Galéna, *In Hippocratis de natura hominis* I,1 (XVI,37 K.), což se nepodařilo ověřit. Uvádí tento téměř totožný text:
Θαλῆς μὲν εἴπερ καὶ ἐκ τοῦ ὕδατός φησι συνεστάναι πάντα, ἀλλ᾽ ὅμως καὶ τοῦτο βούλεται [sc. μεταβάλλειν εἰς ἄλληλα τὰ στοιχεῖα]. ἄμεινον δὲ καὶ αὐτοῦ τὴν ῥῆσιν προσθεῖναι ἐκ τοῦ δευτέρου Περὶ τῶν ἀρχῶν ἔχουσαν ὧδέ πως·
᾽τὰ μὲν οὖν πολυθρύλητα τέτταρα, ὧν τὸ πρῶτον εἶναι ὕδωρ φαμὲν καὶ ὡσανεὶ μόνον στοιχεῖον τίθεμεν, πρὸς σύγκρισίν τε καὶ πήγνυσιν καὶ σύστασιν τῶν ἐγκοσμίων πρὸς ἄλληλα συγκεράννυται. πῶς δέ, ἤδη λέλεκται ἡμῖν ἐν τῶι πρώτωι.᾽

*O slunovratu, O rovnodennosti*
*ΠΕΡΙ ΤΡΟΠΗΣ, ΠΕΡΙ ΙΣΗΜΕΡΙΑΣ*

**B 4** = Diogenés Laertios, *Vitae philosophorum* I,23 (součást A 1)

κατά τινας δὲ μόνα δύο συνέγραψε Περὶ τροπῆς καὶ ᾽Ισημερίας, τὰ ἄλλ᾽ ἀκατάληπτα εἶναι δοκιμάσας.